14. ἐνίκησα ἂν αὐτόν, καίπερ ἰσχυρὸν ὄντα, εἰ μὴ ἀπέδρα.
15. ἐπεί μοι πιστεύεις, ἐγώ σοι δείξω ὅπως ἀποφεύξει.

## 27.

1. ἐπεὶ αἰσθάνομαί σε μωρότερον ὄντα ἢ ὥστε πείθεσθαι, σιγῶ.
2. διὰ τοῦτο οὐκ ἔδρασαν οὐδὲν ὥστε μὴ ἀποφυγεῖν αὐτόν.
3. φιλεῖς μὲ σὺ γέροντα νέος.
4. εἰ καὶ χείμων ἐστί, δεῖ ἡμᾶς πλεῖν ὡς τάχιστα.
5. μὴ οὕτω μῶρος ἴσθι ὥστε δηλοῦν ὅστις εἰμί καίπερ εἰδώς.
6. πάντα ἐποίουν καθάπερ ὑπέσχοντο ὥστε παύειν τὸ κακόν.
7. ὑστέριζον μέντοι τοῦ ὠφελεῖν τοὺς ἁλόντας.
8. πειράσομαί σε πείθειν, καίπερ οὐ δεινὸς ὢν λέγειν.
9. ἐκάκιζον ἐμέ, διότι χρόνον διατρίβοιμι δὴ ληρῶν.
10. οἷός τ' εἰμὶ ἰδεῖν σε, τί ποιεῖς, εἰ καὶ ἡσυχάζεις.
11. συγγιγώσκω σοι καίπερ οὐ σμικρὸν ἁμαρτόντι.
12. συμμαχίαν αἰτούμεθα κατὰ παλαιὰν φιλίαν.
13. πολλὰ πέπονθας ἅτε μῶρος αὐτὸς γενόμενος.
14. ἐπεὶ οὐκ ἠδύνω ἀγρεῦσαι τὸν λάγω, μὴ ἐψήσῃς αὐτόν.
15. οὐ πλούσιος ὢν οὕτως εὖ φρονῶ ὥστε εὖ ἀναλίσκειν τἀργύριον.

## 28.

| | |
|---|---|
| 1. διὰ νόσον. | πρὸ τῶν Τρωϊκῶν. |
| διὰ μακροῦ. | πλεῖν διὰ τῆς λίμνης. |
| πρὸς τούτοις. | ὑπὸ νύκτα. ἅμα τῇ ἕῳ. |
| ἐς διακοσίους. | κατὰ / περὶ } τὸν αὐτὸν χρόνον. |
| ὑπὲρ τὴν θάλασσαν οἰκεῖν. | μέχρι τούτου. |
| οἱ ἀμφὶ Πλάτωνα. | ὑπὲρ τὴν ἀξίαν. |

2. πλεύσαντες διὰ τῆς θαλάσσης παρὰ βασιλέα ἐφοίτων.
3. ἐπορεύοντο διὰ τῆς ὕλης διὰ τὰ θάλπη.
4. ἐπὶ μὲν Περικλέους οἱ Ἀθηναῖοι ηὐδαιμόνουν· ἐν δὲ τῷ πολέμῳ πολλὰ καὶ κακὰ ἔπασχον.
5. παρὰ μίαν νύκτα ἦλθε τὴν πόλιν ἑλεῖν.
6. παρ' αὐτὸ τὸ ἀδίκημα τὸν ἀδικοῦντα δίκην ὑπέχειν χρή.
7. οὐκ ἄνευ θεῶν ἀπεφύγομεν.
8. ἐπ' ἐμοί ἐστι τοῦτο διαγνῶναι.
9. περὶ τὰ τείχη ἐμάχοντο περὶ τῆς πόλεως.
10. περὶ τῇ πατρίδι ἐφοβούμεθα.
11. παρὰ τῷ αὐτῷ ποταμῷ βραχὺ ἀναπαυσάμενοι μετὰ τοὺς φυγάδας ὡρμῶντο.
12. καθ' ἡμέραν ἐπιδίδωσι τὰ πράγματα ἐπὶ τὸ κάκιον.
13. ἐν ἐμοί ἐστιν τοὺς ἀμφὶ Πλάτωνα ἐξελέγχειν.

## 29.

1. μετ' ἐκεῖνον τὸν χρόνον οἱ δοῦλοι {κατ' ἀναπαύλας / κατὰ διαδοχὴν} εἰργάζοντο.
2. ἐπ' ἴσοις ἐσπείσαντο.
3. πρὸ τοῦ πολέμου εὖ ἔπρασσον, μετὰ δὲ ἠπόρουν.
4. μὰ τοὺς θεοὺς οὐ μήποτε ἀποφύγῃς.
5. οἱ φίλοι καθ' ἕνα ἐξῇσαν· πρὸς οἷς καὶ αὐτὸς ἐξῄει.
6. ἀπήντησαν ἡμῖν ἐπ' οἴκου πλέυντες.
7. τῶν πολεμίων ἐπιόντων κατὰ χώραν ἔμενον.
8. ἅμα πολεμοῦντες πολλὰ ἐδαπάνων.

9. ἡ πόλις πάντας ἐν τιμῇ ἔχει ὅσοι κατὰ τοὺς νόμους πολιτεύονται.
10. ἀεὶ κατ' ὀλίγα ἔτη στάσεις ἐποιοῦντο.
11. τὸ κατ' ἐμὲ πάντα ἑτοῖμά ἐστιν.
12. ἥδιον ἂν ἐν ἄστει ἢ κατ' ἄγρους ἂν διαιτῴμην.
13. δεινόν ἐστιν πρὸς τῶν ἐχόντων τοὺς νόμους τίθεσθαι.
14. ἀλλ' οὐκ ἐν ἐμοί ἐστιν· εἰ γὰρ δυναίμην, βοηθοίην ἄν σοι.
15. βιβλία ἐν ᾧ δύνασαι ἀναγνῶθι· οἱ γὰρ τυφλοὶ ἀντὶ πολλοῦ ἂν δέχοιντο τὸ ἀναγνώσκειν δύνασθαι.

## 30.

1. πότερον μετ' ἐμοῦ ἂν ἐθέλοις ἐλθεῖν ἢ μετ' ἐμέ;
2. ἆρα λέγοις ἂν τὸ ὄνομά σου; ἀπὸ στόματος μὲν οὐκ ἄν.
3. ὁποῖον ἂν ᾖ τὸ ἔργον, ἐργάζου κατὰ δύναμιν.
4. κατὰ τοῦ ἀδελφοῦ ὄμνυμι ἦ μὴν μὴ ποιήσειν τοῦτο μήποτε.
5. οὐκ ἂν εἴη ἐπ' ἔμοιγε οὐδ' εἰ βουλοίμην.
6. τρέχε σὺ κατὰ τάχος, ἐν ᾧ ἐγὼ μένω ἐνθάδε.
7. ἐν τῷδε μένοιμ' ἂν ἔγωγε ὅπου εἰμὶ δή.
8. πρεσβευτὰς ἔπεμψαν ὡς ἡμᾶς μετὰ ἱππέων τρισχιλίων.
9. εἶπεν ἀπὸ γλώσσης.
10. ἀπὸ σκοποῦ λέγεις.
11. ἐκ παιδὸς νοσῶ.
12. κατέλαβον ἡμᾶς οἱ πολέμιοι ἐξ ἀπροσδοκήτου.

13. ἐκ δεξιᾶς μὲν ἔκειτο ὁ ἵππος, ἐξ ἀριστερᾶς δὲ ὁ ἱππεύς.
14. μετὰ τῆς γάλω ἐπὶ τῆς Σάμου πλεύσομαι.
15. ὄμνυμι ἦ μὴν οὕτως ἔχειν, εἰ δὲ μὴ εἴθε ἀποθάνοιμι.
16. οὔ φησι δύνασθαι ὁ γραμματεὺς ἐλθεῖν σήμερον διὰ νόσον.
17. πρός γε τούτῳ, ἐξ οὗπερ ἐνόσησε, τυφλός ἐστιν.

## 31.

1. θαυμάζω εἰ ταύτην τὴν νίκην περὶ τοσούτου ποιεῖ.
2. περὶ ἑξήκοντα ἔτη πρὶν γενέσθαι ταῦτα ἐγενόμην ἐγώ.
3. τοὺς αἰχμαλώτους ἀπαγαγόντες κατὰ πεντήκοντα ἀπέκτειναν.
4. οὐχ οὕτως ἐπ' ἐμοῦ εἶχεν.
5. φρουροὶ διὰ τριάκοντα ποδῶν κατέστησαν.
6. παρὰ Τιμοκράτη παῖς ὢν ἐφοίτων.
7. ἐπ' αὐτοφώρῳ ἁλοὺς ἀπέθανεν.
8. ἐπεὶ τάχιστα ἐκ παιδῶν ἐξῆλθον ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην.
9. ὁ ὄρνις κατὰ τῆς κεφαλῆς αὐτοῦ κατέσκηψεν.
10. εἰρήνην ἂν αἱροίμην μᾶλλον ἢ πόλεμον.
11. ἆρα πάντες ἐπὶ νεώς; πάντες πλὴν ἑνος, καὶ τούτου αὐτομόλου.
12. διὰ (or παρὰ) τὴν σὴν ἀμέλειαν ταῦτα ἐγένετο.
13. ταῦτα πρὸς οἷς ἤδη ἴσμεν φανεροῖ τὸ πᾶν.
14. ὁμολογῶ οὐ κατὰ τούτους εἶναι ῥήτωρ.

## 32.

1. ὅτε ἐγένετο ὁ λοιμός, αὐτὴ ἑαυτῆς δυνατωτάτη ἦν ἡ πόλις.
2. ἐψεύδετο ἀναιδέστατα, ὡς οὐκ εἶδε δὴ τοὺς ἀνθρώπους οὐπώποτε.
3. ἐκέλευσα μένειν ὥσπερ ἔχοιεν μή τι γένοιτο πλημμελές.
4. διηγήσομαι ὡς ἂν δύνωμαι διὰ βραχυτάτων.
5. πάντα ἐποίουν ὅπως μὴ πολύς ῥυήσοιτο ὁ ποταμός.
6. ἐν τοῖς δικασταῖς λέγω πολλῷ χεῖρον ἐμαυτοῦ.
7. ἐχρῶντό μοι οἱ ἐχθροὶ παρανομώτατα ἁπάντων ἀνθρώπων.
8. ἐσῆλθον οἱ στρατιῶται ἐς τὸ χωρίον ὡς ἀδηλότατα ἐδύναντο.
9. σὺ ἐν τοῖς ἄριστα πολιτεύει τῶν νῦν.
10. ἦν μὲν ὁ Γαλάτης μείζων ἢ κατ' ἄνθρωπον τὸ σῶμα, ὥστε τέρας εἶναι τοῖς ἰδοῦσιν.
11. ψυχρὸν δὴ τὸ ὕδωρ σήμερον, οἶμαι, ὥστε λούσθαι.
12. ἐπειρᾶτο ἔργον ἑαυτοῦ πολλῷ μεῖζον.
13. χαίροντα οὖν αὐτὸν δέει τὸ πλεόν ἢ εὐνοίᾳ ἀφίεσαν.

## 33.

1. φοβοῦμαι μὴ ταὐτὰ ποιῇς ἐμοί.
2. φοβοῦμαι μὴ ταὐτὰ ποιῇς ἐμέ.
3. εἰ γὰρ γένοιτο πάντα ταῦτα.
4. ἢ μένε ἔνδον ἢ ὅπως ἀνὴρ ἔσει.

5. τὸν νεὼν ἔτι ἑστάναι φησὶ καίπερ σεισμοῦ γενομένου.
6. εἴθε παρῆσθα, ὥστε ὠφελεῖν με (or ἵνου ὠφέλεις με).
7. μὴ λήρει δή, ὡς κωλύσεις μ᾽ ἄρα ποιεῖν τοῦτο.
8. πολλὰ καὶ κακὰ ἔπαθεν ἡ πόλις τοῦ χειμῶνος.
9. ἆρα ἐρῶ ὡς εἰμὶ δὴ τῶν ἀμφὶ Πλάτωνα;
10. πρὸς δὲ τούτοις, ἐκολάσθησαν διὰ τοῦτο ἐς τριακοσίους.
11. πάντα ποίει ὅπως σώσεις τὴν πόλιν τὸ κατὰ σέ.
12. ἆρα φοβεῖ μὴ παρὰ νύκτα γένῃ λαβεῖν τὴν πόλιν;
13. ἆρα ἐπὶ σοί ἐστι εἴργειν μὴ οὐκ ἀποφυγεῖν τοὺς αἰχμαλώτους;
14. ἕτοιμος εἶναι ἔφησθα νόμον θέσθαι πρὸς τῶν πενήτων.
15. εἴθ᾽ ὠφέλομεν ἐσπεῖσθαι ἐπ᾽ ἴσοις.

## 34.

1. ἀμείνω ἀγγέλλεις ἢ ὥστε ἀληθῆ εἶναι.
2. ὅπως μὴ ἡμᾶς τῶν δικαίων ἀποστερήσεις.
3. ἐξ ὅτου κατῆλθεν οὐκ ἔστιν ὅτε ἀποδεδήμηκεν.
4. εἴθ᾽ ὤφελον ὅσων κακῶς πέπονθα ἐπιλανθάνεσθαι.
5. τὸ στράτευμα καίπερ γέρων ὢν ἐξήγαγεν.
6. καὶ Θήβαζε ἀφίκοντο καίπερ χειμῶνος ὄντος.
7. εἰ πλείω ἔγνως ἧσσον ἂν ἀπεκρίνω.
8. τοσοῦτος ἦν θόρυβος ὥστε μήτινα αὐτοῦ ἀκούειν λέγοντος.
9. ἀπέδρα, ὥστε οὐκ ἔστιν ὅπως οἶδεν ὁπότεροι ἐνίκησαν.
10. ἐδεήσατο ἡμῶν μὴ εἴργειν τὸ μὴ οὐκ ἐπανελθεῖν.

11. εἴ σοι ἐπείσθην, ἆρα ἐχαρίσω ἂν ὅσα ἀπῄτουν;
12. νυκτὸς ὁρμήσομαι ὥστε οὔτις αἰσθήσεται.
13. ἐν ἀπόρῳ ἔτι ἐσμὲν πότερον πόλεμον ἢ εἰρήνην αἱρετέα ἡμῖν ἐστιν.
14. λέγοις ἂν τί ἐμὲ ποιεῖν κελεύεις.
15. ἔδει σε παραγενέσθαι δημηγοροῦντος ἐμοῦ.

## 35.

1. εἰ μᾶλλον ηὐλαβήθης πάλαι ἂν ἐσώθης.
2. ἐὰν μὴ νυνὶ πρόνοιαν ἔχῃς, πάντως ἀπολεῖ.
3. εἰ ἐν ἐμοὶ ἦν ἀσμένως ἄν σοι ἐβοήθουν.
4. τοὔργον οὕτω ῥᾴδιόν ἐστιν ὥστε καὶ παιδὸς εἶναι ποιεῖν.
5. πιστότερός ἐστι φίλος ἢ ὥστε ἐμὲ ὧδε ἐξαπατᾶν.
6. ἔφη θᾶσσον ἂν ἀφικέσθαι εἴ σε ἐνθάδε παρόντα ᾔδειν.
7. εἰ ταῦτά σοι ἔδοξεν ἕτερόν τι ἔδει σε δρᾶσαι.
8. ἐφοβεῖτο μὴ ὑπὸ τῶν πολεμίων ἁλοίη.
9. πολὺς ἐπεγίγνετο θόρυβος ὥστε μήτινα τὰ λεγόμενα ἀκούειν.
10. ἐπίσχες ἕως ἂν τὰ ὄντα μάθῃς.
11. μὴ παραγενέσθαι ἀπαρνηθῇς.
12. τελείας ἤδη οὔσης τῆς νίκης οὕτω δὴ ἀπέψυξεν.
13. ἐλπίδ' ἔχω τὸν διδάσκαλον μὴ χαλεπαίνειν μοι ταῦτα δράσαντι.
14. ὑπέσχετο πολλῷ πλείω ποιήσειν ἢ ὅσα τῷ ὄντι πεποίηκεν.
15. λέγοις ἂν ὅτι ἐν νῷ ἔχεις ποιήσειν.

## 36.

1. οὔ σοι πείσομαι οὐδ' ἐὰν ἀπαρνῇ.
2. εἰπέ μοι πότερον ταῦτα ἀληθῆ ἐστιν ἢ οὔ.
3. εἴτε οὖν ταῦτα ἀληθῆ ἐστιν εἴτε μή, οὐδὲν ἄλλο δράσω.
4. ἐς τοσοῦτο μωρίας ἀφίκετο ὥστε καὶ ἀπαρνεῖσθαι μὴ εἰδέναι ταῦτα γενόμενα.
5. δέδοικα μὴ οὐ συνίῃς ὅσα λέγω.
6. εἰ καίριόν τι ἔλεξας ἐλεύθερος ἂν ᾖ.
7. πρὶν πορεύεσθαι τοῦτο πράξομαι.
8. ἐπειδὰν Ἀθήναζε ἀφίκησθε πάντα εἴσεσθε.
9. ὅπως {καίριος / ἐς καιρὸν} δεῦρο παρέσει.
10. ὁ Θεμιστοκλῆς ἐφοβεῖτο μὴ χαλεπαίνοιεν οἱ Λακεδαιμόνιοι τὴν ἀλήθειαν μαθόντες.
11. οὐκ εἴασεν αὐτοὺς μάχεσθαι πρὶν αὐτὸς ἐπανέλθοι.
12. οὐκ ἦν οἷος θάνατον φοβεῖσθαι.
13. ὅποτε ὁ βασιλεὺς ἐμὲ μεταπέμποιτο κατὰ τάχος ὡς αὐτὸν ἐφοίτων.
14. ἀπορῶ ὅπῃ λόγοις φανερὰν ποιῶμαι ὅσην οἶδα χάριν.
15. ἆρα ταῦτα ἀληθῆ ἂν εἴη; εἴθ' ὤφελε ταῦτα ἀληθῆ εἶναι.

## 37.

1. οὐ ταὐτὰ ἑαυτῷ λέγει οὗτος, ἀλλ' ἀπὸ γλώσσης ἅπαντα ὅτι ἂν τύχῃ.
2. κάκιστα δή φησι πεπονθέναι ὑπ' ἐμοῦ, καίπερ ὢν πατήρ.

3. εὖ ᾔδει εὐθὺς ἐλεγχθησόμενος, εἰ ψεύδοιτο.
4. εἰ ἐγώ τε καὶ σὺ ταὐτὸν ἡμάρτομεν, παντὸς ἂν μᾶλλον ᾐσχυνόμεθα.
5. εἰ τοῦτο ἐνομίζετο, οὐκ ἂν ἠδύνατο οὐδεὶς φεύγειν τὸ μὴ οὐ κολασθῆναι.
6. οὐκ ἂν ἔφασαν μεῖναι, εἰ μή τις δοίη αὐτοῖς τὰ καθ' ἡμέραν σιτία.
7. ἐπιμελήσομαι ἔγωγε ὅπως εὐτυχὴς ἔσομαι, ἐὰν σὺ ἐπιμελήσῃ ὅπως ἔσει χρηστός.
8. φέρ' ἄκουσον· εἰ γὰρ μὴ ἀναγνώσει ταύτην τὴν ἐπιστολήν, κλαύσει.
9. οὐ περιόψομαι διαφθειρομένην τὴν πόλιν τὸ κατ' ἐμέ.
10. λέξον δή, ὡς ὑφέξων λόγον· εὖ γὰρ ἴσθι τοῦτό γε.
11. ἀφήσω καθ' ἡμέραν τοὺς δεσμίους, ἐὰν δοκῇ μοι.
12. τά γε λοιπὰ ἄν τις εἰκάζοι πρὸς ταῦτα σταθμωσάμενος.
13. τοῦθ' ὃ λέγω ἥκει πρὸς πάντας, ὥστε μὴ φοβεῖσθε μὴ οὐ λέγω ταὐτὰ ἐμαυτῷ.
14. πρὸς θεῶν, μὴ ποιείτω μηδεὶς τοὐναντίον τούτοις.

## 38.

1. ἆρ' οὐ μέλει σοι τῆς σωτηρίας τῆς πατρίδος ;
2. τέλος ἔδοξεν αὐτῷ τὰ δέοντα ποιεῖν.
3. ἐάν σοι μένειν δοκῇ, ἔμοι γε ἀρκέσει.
4. φανερῶς ἡμῖν συμφέρει τοῦδε τοῦ πολέμου ἀπαλλάσσεσθαι.
5. ἔξεστί σοι ὅσα ἐνδέχεται πειρᾶσθαι.

6. ἄπιθι ἐάν σοι δοκῇ· ἐμοὶ γὰρ οὐ μέλει.
7. οὐκ ἄρα ὕοντος ἐνθένδε ἀφορμήσεσθε.
8. οὔπω ὑπάρχει ἡμῖν ὅσων δεῖ.
9. μετεμέλησέ μοι, καίπερ ἀπιέναι δεδογμένον.
10. ἔνιφεν ἡμῶν ἔτι ἐν ὁδῷ ὄντων.
11. οὔτε προσήκει οὔτε πρέπει ὧδε φλυαρεῖν.
12. ὅτι σεαυτῷ μάλιστα συμφέρει τοῦτο αἱρεῖσθαι δεῖ.
13. λέγει ὥσπερ παρὸν λέγοντος ἀκούειν.
14. καθ' ὅσον μὲν ἐξῆν χρόνον οὐκ ἤθελον· νῦν δε ἐθέλοντι οὐκέτι ἔξεστιν.
15. εἰ ἐβρόντησε, καὶ ἤστραψεν.
16. ἐάν πως παρῇ, χρὴ οἴκαδε πρῴ ἀφικέσθαι.

## 39.

1. ἅπαντα ἀκούσει, ἐάν τι μείνῃς.
2. ἐὰν τὸν πατέρα διώξῃ, μέγα τι ἁμαρτήσεται.
3. ἐὰν μὴ δυνώμεθα ὁρᾶν ὑμᾶς, βοησόμεθα μεγάλῃ τῇ φωνῇ.
4. ἀποιχήσεται ὡς ἵππον ὠνησόμενος.
5. μαθήσομαι, εἰ βούλει, τὰ ὄντα. ἐγὼ μὲν οὖν.
6. ἑψήσει οὖν σὺ τὸ τάριχος ἐάν τί σοι δώσω ;
7. πολλὰ ἔτη βιώσομαι, ἐὰν μὴ νοσήσας ἀποθάνω.
8. ἐὰν θίγῃς μου, κλαύσει.—ἀλλ' οὐ γὰρ θίξομαί σου.
9. οὐκ ἔστιν ὅπως οὐκ ἀποθανεῖται, ἐὰν φάγῃ μεγάλους λίθους.
10. πολλὰ ἔτη καμὼν τό γε λοιπὸν οὐκέτι καμοῦμαι.

11. ἐγὼ μὲν ἔλαχον τὴν ἀρχήν, σὺ δὲ λήξει τὴν τριηραρχίαν.
12. ἆρα καταλήψει αὐτόν ; φοβοῦμαι μὴ οὐ καταλάβω ἄνδρα οὕτω δεινὸν τρέχειν οὔποτε.
13. οὐ μαθήσει λέγειν Ἑλληνιστὶ οὐδέποτε, οὐδ' ἐὰν ἔτη ἑκατὸν βιώσῃς.
14. ἐάν μοι μίαν δραχμὴν δῷς, διανεύσομαι διὰ τοῦ ποταμοῦ.
15. ἆρ' ὀμεῖ ἦ μὴν μὴ λόγους ποιήσεσθαι μηκέτι πρὸς τὸν Δημοσθένη ;

## 40.

1. ἐὰν μετ' ἐμοῦ ἔλθῃς, ὄψει τε τὴν ναῦν καὶ θίξει αὐτός.
2. ἐπειδὰν ἥκω παρὰ σέ, παίσομαι μετὰ τῶν παιδίων.
3. πολλὰ καὶ κακὰ πείσει, ἐὰν διατελῇς μῶρος ὤν.
4. πῖθι σύ, καὶ ἐγὼ πίομαι, τῆς καλῆς κόρης.
5. ὁπόταν πειράσῃ πηδᾶν ὑψηλότερον τοῦ δέοντος, πεσεῖ.
6. πλεύσεται ἡ ναῦς τῆς ἑσπέρας· παρεγένετο δὲ πρὸ τριῶν ἡμερῶν.
7. ἀναπνεύσει ἐὰν παύσῃ τρέχων.
8. τέξεται ᾠὸν σήμερον ἡ ὄρνις ἥδε, εἰ μὴ πάνυ ἁμαρτάνω.
9. ταχέως δράμωμεν, καὶ αὐτίκα καταδραμούμεθα οἴκαδε.
10. ἐὰν σὺ μὴ τύχῃς τοῦ σκοποῦ ἐκείνου, ἐγώ σοι τεύξομαι αὐτοῦ.
11. διαθέωμεν δή· ἐγὼ γὰρ φθήσομαι ἀφικόμενος.

12. ἐπειδὰν ἀκούῃς αὐτοῦ λέγοντος, χανεῖ ἄρα τῷ κόπῳ.
13. ὁτιοῦν δὴ ὀμεῖται, ὥστε μὴ δίκην διδόναι.
14. ἆρ' ἀναβήσει ἐπὶ τὸν ἵππον τοῦτον· τὸν ἐμόν, ἐάν σοι ἐπιτρέπω.
15. μαθησόμεθα τἀληθὲς αὐτίκα δή, ἐάν γε σὺ σιγήσῃς.

## 41.

1. ἀδικήσομαι ἐὰν τῷ ἐναντίῳ ἐπιτρέπω ἃ ἂν δοκῇ ποιεῖν.
2. σαφῶς ἁπάσης τῆς οὐσίας ἀποστερήσει.
3. ὑφ' ἁπάντων ἐς ἀΐδιον μισήσονται.
4. οἰκίαν μεγάλην ᾠκοδόμηκα, ἀλλὰ ὕδατος ἐνόντος οὔποτε ἐνοικήσεται.
5. τιμήσεται ὡς τὴν μὲν ψυχὴν παραβαλόμενος τὴν δὲ πόλιν περιποιησάμενος.
6. ἄπαγε τοὺς ἄνδρας, ὦ φύλαξ, ἐς τὸ δεσμωτήριον· ἐκεῖ γὰρ ὡς ἄριστα ἐπιμελήσονται.
7. ζημιώσεται ὅστις ἂν παρανομῇ, ἐὰν ἐπ' αὐτοφώρῳ ἁλῷ.
8. μισήσει ἐὰν τὸν τυφλὸν φενακίσῃς.
9. ἐὰν ἐμοὶ παραστῇς, οὐκ ὀλίγον ἐν τῇ δυστυχίᾳ ἐπωφελήσομαι.
10. οἱ προδόται ἀτιμώσονται ἅπαντες ἢ καὶ ἀποθανοῦνται.
11. ἐὰν ἀργύριον πᾶσι τοῖς πτωχεύουσι δῷς, οὔποτε ἐάσει.
12. βλάψεται οὐχ ἧσσον τῇ αὐθαδίᾳ ἢ ὠφελήσεται.

## 42.

1. εἰ τῶν φίλων ἦσθα ὠφέλεις ἂν ἐμέ.
2. εἴθ' ὤφελον παραγενέσθαι ἐν ᾧ ταῦτα ἐγίγνετο.
3. μωρίαν ὀφλήσω ἐὰν τοιόνδε τι δρῶ.
4. ὤφελες ἐμὲ δεόμενόν σου ἐπωφελῆσαι.
5. τὸν πάτερα φενακίσας κακουργίαν ὦφλεν.
6. οὐ τῶν γε πολὺ ὀφειλόντων ἐστὶ τοὺς δυστυχοῦντας ὠφελεῖν.
7. τό γε λοιπὸν ἀποδώσω ὅσην ὀφείλω χάριν.
8. ἐγὼ μὲν ὠφέληκά σε, σὺ δὲ οὐδὲν ἄλλο ἢ ἐμὲ ἠδίκηκας.
9. ἐγὼ μὲν τὰ ὀφειλόμενα οὐδαμῶς δύναμαι ἀποτίνειν, σὺ δὲ ἐμὲ ὠφέλει.
10. ἐὰν τὰ ὀφειλόμενα μὴ ἀποδῷς καταφρόνησιν ὀφλήσεις.
11. εἴθ' ὤφελες τὸν πάτερα ἰδεῖν ἵνα πάντ' αὐτῷ ἔλεξας.
12. ὠφελήσει σε ἐὰν ἐν χρείᾳ ᾖς.
13. ἐγὼ δὲ τοὐναντίον τὴν σὴν καταφρόνησιν ὦφληκα.
14. εἴθ' ὠφέλομεν ἄνδρες εἶναι ἵνα δίκην ἐλαμβάνομεν.
15. δέκα τάλαντα ἤδη τοῖς ὠφελήσασιν ὀφείλω.

## 43.

1. πάντας ἔφθασεν ἐμοὶ βοηθῶν.
   or πρῶτος ἐμοὶ ἐπεβοήθει.
2. ἔτυχον τότε ἀποδημῶν.

3. ὅπως μὴ λαθὼν (or ἄκων) παρανομήσεις.
4. ἐτυγχάνομεν διὰ ὕλης πορευόμενοι.
5. φθάσας ἐμὲ τὰς πύλας συνέκλησεν.
6. οἱ φρουροὶ ἔλαθον εἰς τὴν πόλιν εἰσδεδυκότες.
7. οὐ τῷ τυχόντι χρήσει κινδύνῳ.
8. πολλὰ ἐμὲ λαθὼν ἠδίκηκας.
9. οὐκ ἂν φθάσειας οἴκαδε κομιζόμενος.
10. λανθάνεις μωρὸς ὤν.
    or ἀγνοεῖς ὅποι μωρίας ἀφῖξαι.
11. οὐ τοῦ τυχόντος ἂν εἴη τούτοις ἀποκρίνεσθαι.
12. ἐν ᾧ ἀπεδήμει ἐπελάθετο ὅσων ἔμαθεν.
13. ὁ τύραννος ἔλαθε τὴν ἑαυτοῦ φθορὰν μηχανώμενος.
14. διαθεόντων ἐνίκησα ἐγώ.
    or ἀγὼν μὲν ἦν, ἐνίκησα δ' ἐγὼ δραμών.
15. ἆρα ὁ πολέμιος φθάσας σε ἐξέφυγεν ;

## 44.

1. τοὺς πολεμίους, ἐὰν νικήσῃ, τιμωρήσεται.
2. ἐὰν δέησθε, ἀμυνοῦμεν ὑμῖν.
3. πρὶν ἀποθανεῖν τὸν τοῦ πατρὸς φόνον τιμωρήσω.
4. φίλοις μὲν ἀμύνειν χρή, πολεμίους δὲ ἀμύνεσθαι.
5. πῶς οὐ τῇ πατρίδι τούτους τοὺς κινδύνους ἀμυνεῖς ;
6. οὐχ ὁρῶ ὅπως ἐμαυτῷ κίνδυνον ἀμύνειν δύνωμαι, μή τί γε δὴ σοὶ βοηθεῖν.
7. ἅπαντα πράξω (or πάντα λίθον κινήσω) τοὺς ἀδικήσαντας τιμωρεῖσθαι ζητῶν.
8. οἱ ἐπιόντες τιμωρηθήσονται τῆς ὕβρεως.

9. ἐὰν καὶ τὴν ἐμὴν τιμωρίαν ἐκφύγῃς, τιμωρήσονταί σε οἱ θεοί.
10. οἱ φρουροὶ τοὺς πολεμίους εἰσορμωμένους ἀπήμυναν.
11. ὠφελοῦσιν οἱ θεοὶ τοὺς σφίσιν αὐτοῖς τιμωροῦντας.
12. ὅστις τὸν ἀδικοῦντα τιμωρεῖται κινδύνον τῇ πατρίδι ἐπαμύνει.
13. ἄμυνε τοῖς δικαίοις ἐὰν αὐτὸς σῴζεσθαι βούλῃ.
14. ἅμα τῇ ἕῳ οἱ ἐπίκουροι παρεγένοντο ἡμῖν τιμωροί.

## 45.

1. καταστήσουσι φρουρὰς ἐν ταῖς ἀφισταμέναις πόλεσιν.
2. συνέγνων τῷ ἀνδρὶ καίπερ πολεμίῳ ὄντι.
3. μεθίσταντο.
4. ὁ Κλέων ἄκων τὸν πλοῦν ὑφίστατο.
5. διὰ τὸν σκότον οὐκ ἠδύναντο ἀλλήλους διαγιγνώσκειν.
6. διέστησε τοὺς στρατιώτας οἷς ἐφειστήκει.
7. ἐνέστη πολὺς θόρυβος καὶ πᾶσα ἰδέα θανάτου.
8. δι' ὀλίγου μεταγνόντες τὴν δημοκρατίαν ἀντικατέστησαν.
9. οἱ στρατηγοὶ προεξαναστάντες τὴν ἐπιστολὴν ἀνέγνωσαν.
10. ὁ Δημοσθένης ἔπειθε τοὺς Ἀθηναίους τῷ Φιλίππῳ ἀνθίστασθαι.
11. τοὺς Αἰγινήτας ἀνέστησαν.

12. τῶν στρατηγῶν προδοσίαν κατέγνωσαν.
13. ἀναγνῶθι τὴν μαρτυρίαν ἵνα τὴν ἀλήθειαν γιγνώσκῃς.
14. τοῦ ἑαυτοῦ ἀδελφοῦ θάνατον κατέγνω.

## 46.

1. ταῦτα ἐγνωκότες κατέστησαν ἐς συνεχῆ πόλεμον.
2. ἐὰν καὶ τὸ πρῶτον τὸ ἔργον ὑφιστῆται οὐ διὰ πολλοῦ μεταγνώσεται.
3. ἀπογνοὺς ἀπέδρα, οἱ δὲ παρόντες ἐς φόβον κατέστησαν.
4. ὁ Ἑρμοκράτης συνίστη τὰς τῆς Σικελίας πόλεις.
5. αὔριον τῷ φίλῳ σε συστήσω.
6. λαβὼν ἀναγνῶθι τὸ βιβλίον.
7. ἐὰν ἀφιστῶνται οἱ σύμμαχοι τιμωρησόμεθα τοὺς ἐφεστῶτας στρατηγούς.
8. οὔποτε παρέστη αὐτῷ τὸ πολεμίῳ συγγιγνώσκειν.
9. συγκαταστήσομεν ὑμῖν τὴν ἐξουσίαν.
10. τοὺς ἡμετέρους διαγιγνώσκειν οὐ δυνάμενοι ἐς πᾶσαν ἀπορίαν κατέστημεν.
11. οἱ Λακεδαιμόνιοι ἁρμοστὰς καθίστασαν οἳ ταῖς πόλεσιν ἐπιστήσονται.
12. ταύτην τὴν ἐπιστολὴν ἀναγνοὺς οὐκέτι ἀντιστήσει.
13. θάνατον ὅμως κατέγνωσαν τοῦ ἐπισήμου τούτου.
14. ἕκτον ἤδη τοῦτο ἔτος τοῖς Σαμίοις ἀφεστηκόσιν.

## 47.

1. οὐκ ἐῶ σε τοῦδε λέγοντος ἀκροᾶσθαι· οὐ γὰρ ἀξιόπιστός ἐστιν.
2. ἦ ἐκεῖνος σὺ εἶ οὗ χρείαν ἔχω; οὔ φημ' ἔγωγε.
3. ἦ κέκρυφας τόν τε πέτασον καὶ τὸ ῥόπαλον; οὔ φημι· ὧδε γὰρ ἔχεις.
4. οὐ περιόψομαί σε ἀδικούμενον· μὴ τοιόνδε μηδὲν φοβοῦ.
5. οὐ περιεῖδον πελάζοντα, ὥστε παραυτίκα ἀπέδρα.
6. περιεῖδες ἄρα αὐτοὺς ἐγγὺς μένοντας.
7. οὐκ εἴα ἡμᾶς τάς τε γυναῖκας ἀδικουμένας καὶ τὰ τέκνα περιορᾶν.
8. οὔ φημι οὐδένα οὕτω μῶρον εἶναι ὥστε δρᾶν ἃ κελεύεις.
9. φύλακες, ἦ ἀποθνῄσκοντά με περιόψεσθε;
10. ἐμμένει ἄρα ὑμῖν ἡ πόλις τοῖς νόμοις, ἣ περιορᾷ τοὺς πολίτας ἐκδίκως ἀλλήλους τύπτοντας;
11. τολμῴης ἂν εἰπεῖν ὡς ἔστι τῶν θεῶν ὃς οὐκ εὐδαιμονεῖ;
12. οὐχ ἥκω ὡς τοιαῦτα περιοψόμενος.

## 48.

1. κακῶς ὑπὸ τῶν πολιτῶν παθὼν ἔφυγεν.
2. αἱ τοῦ Νικίου σπονδαὶ τοῦ πολέμου τῷ δεκάτῳ ἔτει ἐγένοντο.
3. ὁ κῆρυξ ἐπανελθὼν ἀπέθανεν καίπερ ἀναίτιος ὤν.

4. ἐς δίκην καταστὰς καίπερ αἴτιος ὢν ἀπέφυγεν.
5. οὗτοι οἱ νόμοι ὑπὸ τῶν τριάκοντα ἔκειντο τῆς ἰδίας ἕνεκα σωτηρίας.
6. ἐν οἷς ἐπολιτεύετο φιλόπολίς τε καὶ δημοτικὸς ὑφ' ἁπάντων ἤκουεν.
7. ἐὰν ἁλῷς οὐκ ἔστιν ὅπως οὐκ ἀποθανεῖ.
8. μετὰ τὸν πόλεμον ὀλιγαρχίαι ἁπανταχοῦ κατέστησαν.
9. κακῶς ὑπὸ τοῦ πλήθους παθὼν (or τραχέως περιεφθείς) ἀπέθανεν.
10. δέδοικα μὴ οἱ νόμοι πρὸς τῶν ἐχόντων κέωνται.
11. φίλος γένοιτ' ἂν εὖ παθὼν ὁ πολέμιος.
12. ἐὰν τοὺς νόμους παραβαίνῃς δίκην ὑφέξεις.
13. τῶν οἰκιῶν αἱ μὲν πολλαὶ διὰ τὴν νόσον ἐπεπτώκεσαν.
14. ἐς δίκην καταστὰς μαρτύρων οὐ παρόντων ἀπέφυγεν.
15. ὁ Σόλων ἦν τῶν ἕπτα σοφῶν.
16. οἱ σύμμαχοι, ἐὰν εὖ πάσχωσι, προσχωρήσουσιν.

## 49.

1. τίς τὸν Φίλιππον κωλύσει δεῦρο βαδίζειν;
2. τοῖς Αἰγινήταις Θυρέαν ἔδοσαν ἐνοικεῖν.
3. πάντες τοὺς θεοὺς ἀγαθὰ διδόναι αἰτοῦσιν.
4. θαυμαστόν τι ἐγένετο καὶ ἄξιον λέγειν.
5. δεινότερα εἶπεν ἢ ὥστε διηγεῖσθαι.
6. τό γε ἐμὲ εἰδέναι, ἐν ἀσφαλεῖ ἐσμεν.
7. καθ' ἡσυχίαν ἄπιτε, ἐμοῦ γ' ἕνεκα.

8. ἡ πόλις χαλεπὴ ἔσται χειμῶνος λαβεῖν.
9. ἐδεησάμην αὐτοῦ κατὰ πάντα ἀληθεύειν.
10. τοῦτο ῥᾴδιον μέν ἐστιν ἐξηγεῖσθαι, χαλεπὸν δὲ ποιεῖν.
11. τοσούτου δεῖ ἀληθὲς εἶναι ὥστε μηδὲ εἰκὸς εἶναι.
12. τί ἐκώλυσεν ὑμᾶς δεῦρο ἐς καιρὸν παρεῖναι;
13. πεφύκασιν ἄνθρωποι τοὺς πολεμίους μισεῖν.
14. πολλὰ ἔτι λέγειν ἔχω.
15. ὡς ἀπεδήμουν οὐδὲ κλίνην εἶχον ἐγκαθεύδειν.

## 50.

1. οὐ ῥᾴδιον ἐξετάζειν τὰ πάλαι.
2. οἱ πάλαι τοῖς νῦν οἱ αὐτοὶ τὸ πολύ.
3. οἱ ἐν τῇ πόλει ἐξηγέρθησαν κνεφαῖοι.
4. ἐτιμῶντο ὑπὸ πάντων οἱ ἐν τέλει ἐπ᾽ ἐμοῦ.
5. ἀπόλωλεν ἡ πόλις διὰ τὸ νενικῆσθαι ἡμᾶς.
6. ἀντὶ τοῦ ἡσυχάζειν ψόφον ἀεὶ ποιοῦνται οἱ παῖδες.
7. μὴ πίστευε τῷ γε μὴ πολίτης εἶναι.
8. οὐκ ἂν εἴποιμι ἀπὸ στόματος διὰ τὸ λελῆσθαι.
9. μετὰ τῶν ἐκ τῆς πόλεως ἦλθον οἱ ἐκ τῶν νεῶν.
10. διὰ τὸ ἡμαρτηκέναι ἐμέ, ἀπώλοντο πολλοὶ δή.
11. τιμὴ ἡμῖν τὸ νενικηκέναι τοὺς βαρβάρους.
12. λυποῦνται οἱ βάρβαροι διὰ τὸ νενικῆσθαι.
13. αἱ ἐν τῷ ποταμῷ νῆες ἰσχυρόταταί τε καὶ πλήρεις ἀνδρῶν.
14. οἱ ἐκ τῆς ἀγορᾶς ἀπέδραμον ὡς εἶχον ποδῶν.
15. τοὺς ἐν τῷ δεσμωτηρίῳ φοβούμεθα, διὰ τὸ λελωποδυτηκέναι.

## 51.

1. παρά μοι κάθηται λίθῳ ὅμοιος οὔτ᾽ ἔχοντι ὦτα οὔτ᾽ ἐγκέφαλον.
2. ἀπέδρα ὁ δοῦλος τὸν ἐμὸν κύνα ἄγων, μὴ δέροιμι αὐτόν.
3. ἐσῆλθεν ἐς τὴν οἰκίαν κλέπτης τις, καὶ ἀπέφυγε λαβὼν τόν τε πέτασον τοῦ δεσπότου καὶ θοἰμάτιον.
4. ἐκάλει ὁ μάγειρος τοὺς φίλους πρὸς δεῖπνον οὐκ ἔνδον οὔσης τῆς δεσποίνης.
5. ἐς μάνδραν κατέφυγον φεύγων τὴν χάλαζαν.
6. πάρεστιν, ὦ τᾶν, ἔμπορος, πέντε ἔχων ἵππους καλλίστους.
7. ἰδοὺ ὁ φύλαξ ἔχων τὸ κώνειον τοῖς δεσμώταις.
8. πρῲ πάρειμι φέρων ἀγγελίαν ἀηδῆ.
9. διὰ τί ἦλθες τὸν Σωκράτην οὐκ ἄγων;
10. ἦλθεν οὐ πολὺ διαλιπὼν ἵνα ἴδοι τί γίγνεται.
11. μεσοῦμεν ἤδη δειπνοῦντες, ὥστε καθίζου.
12. φαίνεται δή, ἦ δ᾽ ὃς γελάσας.
13. πέτασον ἔχων ἐπὶ τῆς κεφαλῆς ἦλθον, ὥστε ἀμύνειν τὸν ἥλιον.
14. ἐπειδὴ δεινός τις εἴη παγετός, ἐξέβαινεν χλαῖναν οἵαν πρότερον φορῶν.
15. πρῶτον μὲν οἱ γέροντες ἦλθον, ἐχόμενοι δὲ τούτων οἱ νεανίαι.

## 52.

1. λαθόντες ἐπέθεντο ἵνα τὴν πόλιν ἀπροσδόκητον καταλάβοιεν.
2. ᾔσθετο ἀνωφελὲς ὂν πλείω ἐρωτᾶν.
3. ἐπὶ ἐσχάτῃ τῇ νήσῳ ἐστρατοπεδεύσαντο.
4. ἀπὸ τοῦ δένδρου ἀκροτάτου τὰς ναῦς ἰδεῖν παρῆν.
5. ὧν ὁρᾷς νήσων ἡ μέση μεγίστη ἐστίν.
6. ἡ νῆσος μέση οὐδὲν ἄλλο ἢ ἕλος ἐστίν.
7. ἦλθε πάντας τοὺς φίλους καὶ τοὺς πλησίον φέρων.
8. διετέλουν τὰ ἄριστα ὑμῖν παραινῶν.
9. ᾔσθετο ἀδύνατος ἐσόμενος πορρωτέρω ἰέναι.
10. φανερός ἐστι δεδιὼς μὴ ἁλίσκηται.
11. παῦε πρὸς θεῶν φλυαρῶν.
12. τύπτει μὲ τὸ πρόσωπον ἔχων· τί δράσω;
13. παρανόμημα καταγνωσθεὶς δίκην ἔδωκεν.
14. φανερὸς εἶ ταῦτα λέγων ὡς ἐμὲ παρηγορήσων.
15. ᾄδειν μὲν ἐπίσταμαι, οἶδα δὲ κακῶς ᾄδων.
16. μέγα χρῆμα (or πλῆθός τι) στρατιωτῶν συνῆλθεν.

## 53.

1. ἄξιός ἐστιν ἀποθανεῖν.
2. οὐ χαίρων ἐμὲ οὕτω λοιδορήσεις.
3. ἀνάξιός ἐστι τὴν στρατηγίαν ἐντρέπεσθαι.
4. ὀχεῖσθαι ἐξὸν, βούλοιο ἂν μᾶλλον τρέχειν;
5. μεταξὺ δειπνῶν ἀνέστη.
6. ὁ λοχαγὸς τριακοσίους ἔχων τοξότας ἐδίωκεν.
7. ὁ Θεμιστοκλῆς νοσήσας ἐτελεύτησεν.

8. φανερός ἐστι πλείω εἰδὼς ἢ ὅσα λέγειν βούλεται.
9. οἱ ἐγχώριοι φαίνονται εὐνοεῖν ἡμῖν.
10. πᾶσαν τὴν ἡμέραν ἐμάχοντο, τελευτῶντες δὲ ἀπεῖπον.
11. ἆρα ἄξιοί ἐσμεν ὧδε κολάζεσθαι;
12. τὰς πύλας ξυνέκλῃσαν αἳ ἔτυχον ἀνεῳγμέναι.
13. ὅπως περὶ τούτων γιγνώσκει οὐ φανερὸς ἦν.
14. ἐν ᾧ διελεγόμεθα ἐμὲ μέσον ἔλαβεν ὡς ὑποσκελιῶν.

## 54.

1. ἦλθε τετρακοσίους ὁπλίτας ἄγων.
2. ὁ πόλεμος ὅσων πεπόνθαμεν κακῶν αἴτιος.
3. ἠχθόμην ἀποδημεῖν σε μαθών.
4. ταὐτὰ ἐρωτᾷ ἔχων.
5. τί ἄρα πτωχεύεις πλουτεῖν ἐξόν;
6. ἐξεληλεγμένοι ἤχθοντο.
7. ἀφ' ὅτου ἐκ παίδων ἐξῆλθον οὐ παύομαι τῇ πατρίδι ὑπηρετῶν.
8. ὡς τελευτῶντες οὐκέτι ἀνέχειν ἠδύναμεθα, ἐς φυγὴν κατέστημεν.
9. ἐλπίδος οὖν ἐσφάλημεν ἣ μόνη ἡμῖν περιῆν.
10. πέμψομεν ναῦν ἣν ἔχομεν ταχίστην.
11. ἡσυχάζειν ἐξὸν πόλεμον εἵλοντο.
12. τοιαῦτα διηγήσομαι ἃ εἰδότες ὠφέλιμοι ἔσεσθε πολῖται.
13. μετεμέλησεν ἡμῖν τοὺς λόγους μὴ δεξαμένοις.
14. ὡς ἐκ τῶν παρόντων δηλώσομεν οὐκ ἄξιοι κολάζεσθαι ὄντες.

## 55.

1. οὐκ ἂν ἐποίησα αὐτὸ ἑκών.
2. οὐδέν ἐστιν αἴσχιον προδότου, ἔμοιγε δοκεῖν.
3. οὐκ ἄν τοι ἐπιθόμην τοῦτο, ὡς εἰπεῖν, εἰ μὴ διὰ σέ.
4. οὕτως ἔχει τὰ πράγματα, ὅσον ἐμέ γ' εἰδέναι.
5. οὐδεὶς, ὡς ἔπος εἰπεῖν, ἤκουσε τὰ γενόμενα.
6. οὐ γὰρ ἀνεχοίμην ἄν, ὡς συντόμως εἰπεῖν, ὑβριζόμενος (or ἀνειχόμην if *could* is simple past).
7. τίς δ' ἄν ποτε ποιήσειε τὸ τοιοῦτον ἑκὼν εἶναι ;
8. πεντακισχίλιοι, ὡς εἰκάσαι, παρῆσαν ναῦται.
9. ποιήσειν ἔφασαν τὸ κατὰ σφᾶς εἶναι.
10. οὐδείς σ' εἶδεν, ὅσον ἐμέ γ' εἰδέναι.
11. κἂν εἴη πανοῦργος ὡς ἀληθῶς, ὅσον γ' ἐμ' εἰδέναι.
12. ἅπασα ἡ πόλις, ὡς εἰπεῖν, ἡμᾶς ὑμνεῖ.
13. ἀπώλοντο ὀλίγου δεῖν ἅπαντες οἱ ἑταῖροι αὐτοῦ.

## 56.

1. ἐκρεμάννυντο βοτρυδὸν αἱ μέλισσαι ἀπὸ τῶν δένδρων.
2. ἅπασα ἡ πόλις ἐξεχώρει μετέωρος ὡς ἀσπασομένη τὸν νικήσαντα.
3. ἐκάλει με πατρόθεν, καὶ ἱκέτευεν ἐμὲ ὠφελεῖν αὑτόν.
4. παρήλαυνεν ἵππον ἔχων ἱδροῦντα.
5. ταυρηδόν μ' ἔβλεπεν, ὥστε ἐφοβούμην μή με βλάψῃ.

6. μὴ λοιδόρει μηδένα ἰάμβοις ὀνομαστί, μή τι καὶ κακὸν πάθῃς.
7. λῆρός ἐστιν ἄλλως οὗτος, οὐδέ σου ἀκούσομαι ἑκὼν εἶναι.
8. ἑάλω ἡ πόλις αὐτοβοεί, ἔρημος οὖσα.
9. τοῦτόν σοι δίδωμι τὸν ἵππον προῖκα, ἐφ᾽ ᾧ τε πρίασθαι τὸν ἕτερον.
10. μή με βλέψῃς ταυρηδὸν οὕτως, οὐ γὰρ περιόψομαι.
11. οὐκ ἦλθεν ἀρχήν, μὴ συλληφθεὶς ἐς τὴν φυλακὴν ἀπαχθείη.
12. ἐὰν πίῃς ἀπνευστὶ ὅλον τοῦτο τὸ ποτήριον νοσήσεις (or ἐμεῖ).
13. ἄπαγε ἐκποδών, ἐπεὶ (or εἰ δὲ μή) κλαύσει δή.
14. ἔπαισεν αὐτὸν πὺξ ὥστε κατέπεσεν χαμαί.
15. ἀπεκρίνατο ἃ ἠρώτων νουνεχόντως.

## 57.

1. ἀκονιτὶ ἄρα ἐνίκησεν ὅσον ἐμέ γ᾽ εἰδέναι.
2. ἐξῆλθον ἁθρόοι οἱ στρατιῶται ὥστε ἰδεῖν τὸν στρατηγόν.
3. γνὺξ καταπεσὼν σχεδόν τι ἀπεῖπεν.
4. οὐκ ἀπέδωκα οὐδέποτε οὐδὲν προῖκα.
5. οὗτος ὁ δεσμός μοι ἐμποδών· ἀπολύοις ἂν δή.
6. εἰ πατρόθεν ὀνομάζοις, ἴσως ἂν παύσαιτο.
7. χαμαὶ ἐκεῖτο ταυρηδὸν βλέπουσα.
8. ξίφος μὲν εἶχεν ὀδάξ, χειρὶ δ᾽ ἑκατέρᾳ ἀκόντιον.
9. τεῖχος ᾠκοδόμουν λογάδην φέροντες τοὺς λίθους.

10. λὰξ ἐπιβὰς τῷ νεκρῷ ἀπέσπασε τὴν λογχήν.
11. εἰ τὸν οἶνον ἐκεῖνον ἀπνευστὶ ἔπιον, ἐνόσησα ἂν (or ἤμεσα ἄν).
12 ἐκρεμάννυντο ἀπὸ τῶν ἀμπέλων αἱ σταφυλαί, ὥστε ἅλις εἴχομεν φαγεῖν.
13. οὐκ ἂν ἐμαχέσαντο πύξ, εἰ ξίφη εἶχον.
14. φέναξ ἔστιν οὑτοσί, ἐπεὶ ὡμολόγησεν ἂν αἴτιος εἶναι.
15. ἐὰν τὴν πόλιν ἕλωμεν αὐτοβοεί, εὐτυχήσομεν ἄρα.

## 58.

1. νομίζεις μὲν ὡς ἔβλαψά σε, τὸ δὲ ἐβοήθησα.
2. πολλάκις μὲν ἐρωτῶ, σπάνιοι δὲ ἀποκρίνονται.
3. καθίζειν πάρεστιν;—πῶς γὰρ οὔ; φίλος μοι εἶ δήπου.
4. οἷόν τε ποιεῖν τοῦτό γ' εἰ πειρῴμεθα.
5. ἀλλὰ νὴ Δία οὐ παρέσχεν μάρτυρας ὁ ἄνθρωπος.
6. φέρε δός μοι τὸν δίφρον ἐκεῖνον. μάλιστά γε, ἐὰν ἐθέλῃς καθῆσθαι.
7. καθῆσο.—καὶ δὴ κάθημαι· τί μοι ἐθέλεις ἄρα;
8. οὐκ εἶδον μὰ τὸν Δία οὐδένα οὕτως ἀνδρεῖον οὐδεπώποτε.
9. οὐ μὰ τὸν Ἀπόλλω κίνδυνος ὁ τυχὼν ἐμποδών σοι.
10. καὶ δὴ τεθνᾶσι· εἶτα τί ποιῶ;
11. τιμωρήσει αὐτοὺς δήπου, ἐὰν νικήσῃς;
12. φασὶ μὲν τοὺς θεοὺς βοηθεῖν ἀνθρώποις, τὸ δὲ βοηθοῦσιν ἑαυτοῖς οἱ ἄνθρωποι.

13. αὔριον γενήσεται ὁ γάμος.—ἐχθὲς μὲν οὖν.
14. αὔριον δ' οὖν ἄπειμι.
15. πάταξον πὺξ ἐμέ.—ἐμὲ μὲν οὖν, καὶ γὰρ ἐγὼ ἰσχυρότερος.

## 59.

1. ἆρ' οὐχ ἥκεις ὡς καταστήσων φρουρὰς ἐν ταῖς πόλεσιν ταῖς ἀφεστηκυίαις;
2. συγγνῶθί μοι γοῦν, ἐὰν μὴ δύνῃ ἀμνημονεῖν.
3. οὐ διακρῖναι ἀλλήλους ἠδυνάμεθα, ὅμως δ' οὔπω νὺξ ἦν.
4. φήσει δὴ ἡμᾶς σεσυκοφαντηκέναι οὗτος.
5. ἀντὶ τῆς εὐνοίας δῆλός ἐστιν ἡμᾶς ἀπατήσας που πάντας.
6. εἴθε πλούσιος ἦν.—τίθει οὖν σε πλούσιον· τί μήν;
7. οἱ κρίται λόγῳ μὲν ἀπέλυσαν αὐτόν, ἔργῳ δὲ κατέγνωσαν.
8. σὺ ἄρα ὁ κρίτης δήπου ὁ ἐλθὼν ὥστε μοῦ καταγνῶναι.—πῶς γὰρ οὔ;
9. δός μοι πίστιν ἦ μὴν εὖ με ποιήσειν.
10. κατέλαβον ὑγιαίνουσαν τὴν γυναῖκα, ὡς καὶ κατέλιπον αὐτὴν τῷ ὄντι.
11. τέθνηκας ἄρ', ὦ φίλτατε; τί ποτε ποιῶ;
12. τί ἄλλο ἢ ἐκβάλλεις τοὺς ἀποθανόντας ἐκ τῶν τάφων;
13. ἆρα μετέγνωκας;—οὐ γὰρ οὖν, ἀλλὰ τὸ αὐτὸ καὶ νῦν ἐννοῶ.

14. κἂν ἐξεπλάγησαν φόβῳ εἴ γ' εἶδον ἐμέ.
15. φέρ' ἀναγνῶθι τὴν ἐπιστολὴν ταύτην.—καὶ δὴ ἀναγιγνώσκω.

## 60.

1. οὐκ ἔστιν ὅπως οὐκ ἐξελεγχθήσονται οἱ μὴ ἀληθεύοντες.
2. οὔποτε λόγῳ μὲν ὑπεσχόμην ἔργῳ δὲ οὖκ ἐποίησα.
3. ἀπεύχου, ἐὰν σοφὸς ᾖς, μήποτε δεσπότῃ τοιῷδε ὑπηρετεῖν.
4. οὐκ ἔστιν ὅπως οὐκ ἤδη ὧν ἠλπίσαμεν τευξόμεθα.
5. ἐν ὁδῷ οὐ τῷ μὲν τῷ δὲ οὒ περιεπίπτομεν κινδύνῳ.
6. οὔτινα ὅντινα οὐ λέγων κατέκλασεν.
7. οὐκ εἰς ὄλεθρον; ἄπιθι. οὐ γὰρ φιλῶ τοὺς μὴ καλοὺς κἀγαθούς.
8. οὐ φθάσας δεῦρο ἵππους ἄξεις;
9. ἆρα οὕτως ἀναιδὴς εἶ ὥστε ἀπαρνεῖσθαι μὴ ταῦτα εἰδέναι;
10. αὗται αἱ πόλεις χαλεπαὶ λαβεῖν ἔσονται μὴ οὐ χρόνῳ.
11. μὴ οὐ τοῦτο τῷ ὄντι φοβερόν ἐστιν (or ᾖ).
12. οὐχ ὅπως τοὺς δούλους ἀλλὰ καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα πολλὰ ἠδίκησεν.
13. οὐ συνεγενόμην ἀνδρὶ οὕτω δεινῷ οὔποτε οὐδαμοῦ.

## 61.

1. τὰ ἔσχατα κινδυνεύσας οὐδὲ ἐλάχιστον ὠφελήθη.
2. ὧδε ἐμοὶ ἀπειλήσας οὐ μέντοι ἀπέτρεψε μὴ οὐκ ἀληθεύειν.
3. μαθήσει ποτὲ ὅποσα καὶ ὁποῖα εὐεργέτηκά σε.
4. ἆρα ἄξιός ἐστιν ἀποθανεῖν περὶ τοσούτου ἡμαρτηκώς;
5. πολλὰ ἐμοῦ κατηγόρουν ἤ τι ἢ οὐδὲν ἀληθεύοντες.
6. καὶ ὁ μὲν ἀναστὰς ἐξῄει· οἱ δὲ παρόντες ἤσθησαν τῷ γενομένῳ.
7. οὐπώποτε ὑπωπτεύσαμεν ὅποσα ἠμέλλομεν κινδυνεύσειν.
8. ὧν ἠδίκηκας οὐδὲν ὀνήσει.
9. σκέψαι ὁποῖος ὑπὸ τῶν πολεμίων ἀκούεις.
10. ὅποτε ἐμὲ αἰτιῷντο ταῦτα καὶ τὰ τοιαῦτα ἀπελογούμην.
11. ἆρα ἐχαρίσω ἂν ἃ ἀπῄτουν εἰ ἐξετέλεσα ὅσα ὑπεσχόμην; (or ἐνέμεινα τοῖς ἀναδεδεγμένοις;)
12. οἷς ἐπεχείρησε ταῦτα καὶ κατώρθωσεν.
13. τοιοῦτος ἦν ὁ σεισμὸς οἷον οὔτις μέμνηται γεγονότα.
14. ἐὰν πόλεμος γένηται τιμιώτερος ἔσται ὁ σῖτος.

## 62.

1. ποιηταῖς ὅτι μάλιστα ἥδομαι ὁμιλῶν.
2. ὀλίγον παρεσκευάζετο οὐδὲν ὡς ἀποδημήσων.
3. τὸ πρῶτον ἀφικόμενος ἔφην θαυμάζειν εἰ πάρεστιν.

4. φανερὸς ἦν ὅτι μάλιστα ἀγανακτῶν τῷ γενομένῳ.
5. ἀκράτου ἡδέως πίνω.
6. ἔπρασσε τοῖς πολεμίοις ἐπωφελήσειν ὑπισχνούμενος.
7. γνοὺς ὅτι οὐ δύναμαι βεβαιοῦν τοῦτο, οὐδὲ πειράσομαι.
8. ὀργισθεὶς ἀπηλλάχθη ἄφωνος.
9. μαθών σε περὶ δικαίων ἰσχυρίζεσθαι ἐνδίδωμι.
10. ὡς ἀθλιώτατα ἤδη διακείμενος ἀπορεῖ ὅτι ποιῇ.
11. οὐ τούτοις πέποιθα ὑφ' ὧν ἠδίκημαι.
12. οὐκέτι ἀνέχειν δυνάμενος ἐδάκρυσεν.
13. ἄλλοι ἄλλα ἐδεδοίκεσαν.
14. δεῖ με πρῶτον μὲν μαθεῖν πῶς ἔχω χρημάτων, ἔπειτα ὑποσχέσθαι ὠφελήσειν.

## 63.

1. ἀστάθμητος ὢν τὴν διάνοιαν οὐ κατορθοῦται.
2. θαυμασίως ὡς σπουδαῖος ἦν, ὥστε ἐκπλαγῆναι ἅπαντας.
3. ἐν ἀδήλῳ ὄντος τοῦ μέλλοντος ἐν φροντίδι εἰσὶν οἱ ἄνθρωποι.
4. τό τε δίκαιον καὶ τὸ ἀληθὲς ἰσχυρότερα τοῦ συμφέροντος.
5. τοιοῦτον σεαυτὸν παρέχων φανερὸς γέγονας καλὸς ὢν ὡς μάλιστα.
6. μακάρτατοι αὐτοὶ ἑαυτῶν ἦσαν ὡς πένητες ὄντες.
7. ἐταπεινώθη τὴν γνώμην τοιούτους τε καὶ τοσούτους πυθόμενος τεθνηκότας.

8. ταῦθ' ἃ λέγεις οὔ φημι ἀληθῆ εἶναι, εὖ ἴσθι.
9. οἱ σκληρὰ ποιήσαντες καὶ πείσονται χαλεπά.
10. τοσαῦτα δὴ ἔψευσμαι, ὥστε οὐ γιγνώσκω τί ἀληθές ἐστιν, οὐδ' ἰδών.
11. σύνοιδα μέν σοι δίκαια ἐγνωκότι, λυποῦμαι δέ.
12. ἀμφισβητῶ μὴ δίκαιόν σε εἶναι ἔχειν τοῦτο τἀργύριον, ὡς ἄνηβον ὄντα.
13. οὐκ ἀπαρνούμεθα μὴ εὖ σε βουλόμενον ταῦτα ποιεῖν.

## 64.

1. ἅπαντες δὴ οἱ πολῖται ἴσασί σε ὡς φέναξ εἶ.
2. εὖ οἶδε πείθειν τοὺς ἐν τέλει, ὥστε οὐδεὶς φόβος μὴ σφαλῇ.
3. ἀεί προσίενταί με οἱ φύσιν γενναῖοι (or οἱ φιλάνθρωποι).
4. οἱ μὲν μῶροι ἐπαινέσουσί σε, οἱ δὲ σοφοὶ οὐκ ἔστιν ὅπως οὐ μέμψονται.
5. μώρῳ μοι ὄντι οὐ παρέχουσιν ἑαυτοὺς οἱ νοῦν ἔχοντες.
6. οὐδὲν πρὸς ἐμὲ οἱ κομψοί.
7. ἀκούω ἀνδρῶν ἀξιοπίστων πόλεμον ἔσεσθαι φασκόντων.
8. ἐκελεύσθη ἡμῖν ἐπιμελεῖσθαι ὡς μάλιστα.
9. ἐξῆν αὐτῷ ἄνθος τι δρέπειν.
10. οὐ χαλεπὸν τοῦτο τῷ γε σοφῷ καὶ εὐτραπέλῳ.
11. δίκαιοί τε καὶ σώφρονες πεφύκασιν οἱ ἀληθῶς σοφοί.
12. μισοῦσι πάντες τοὺς ἀχαρίστους.

## 65.

1. οὐκ οἶδα οὔθ' ὁπόσοι εἰσὶν οὔθ' ὅπου.
2. χρή σε μοι λέγειν ἅπαντα καθ' ἕκαστον, εἰ δὲ μὴ οὐχ οἷός τ' εἰμί σ' ἐπωφελεῖν.
3. ᾔδη αὐτὴν εὖ ὁποία τις εἴη, οὐδ' ἐφοβούμην μὴ σφαλείη.
4. εἰ ᾔδησθα ἐμέ, ὡς σε φιλῶ, οὐκ ἂν ἐποίεις οὕτως οὐδέποτε.
5. ὅπως διδάξεις τὸν πατέρα ποῖός τίς ἐστιν οὗτος.
6. ἐρωτᾷς πηλίκος εἰμί, ἀγροικότερόν τι ἐρωτῶν, ὡς δοκεῖ ἔμοιγε.
7. οὐκ ᾔδεσαν οἱ στρατιῶται ὅποι πορεύοιντο.
8. πειράσομαι ἐξηγεῖσθαί σοι πόθεν ἤρξατο ὅλον τὸ πρᾶγμα.
9. ὁ βασιλεὺς φανερώτατος ἐγένετο φύσει αἰσχρός τις ὤν.
10. ἐπιμελοῦ ὅπως ἐξαπατήσεις τὸν κυμινοπριστὴν τοῦτον.
11. ἤκουσας δὴ ἃ λέγω· ἆρα φοβεῖ μὴ φονεύσω σε;
12. δεῖ ὡς τάχιστα δηλοῦν ὡς οὐκ ἐπαινοῦμεν ταῦτα.
13. διαβάλλων δῆλος γίγνει ποῖός τις εἶ φύσιν.
14. οὐκ ἀπαρνοῦμαι εὐνοεῖν τὸν ἄνδρα ταῦτα ποιοῦντα.
15. μαθόντες πῶς διακεῖνται ἐξεπλάγησαν.

## 66.

1. τοὺς φονέας εἰκὸς φανεροὺς γενέσθαι τελευτῶντας (or ἤμελλον οἱ φονῆς φανεροὶ γενέσθαι τελευτῶντες).

2. μὴ ζήτει τί συμφέρει, μηδὲ ἀεὶ πρᾶττε πρὸς τὰ παρόντα.
3. οἱ μὴ δυνάμενοι νεῖν πολλάκις ἀποπνίγονται.
4. τοὺς μαθητὰς διατελῶ διδάσκων ἄριστα πράττειν τὸν δίκαιον ἄνδρα.
5. τίνι πεστεύων λέγεις ταῦτα;
6. ἐπεὶ δὲ ἔμαθον ὡς πάντων ἐνδεεῖς εἶεν, ἐδίδουν αὐτὰ τὰ ἀναγκαιότατα.
7. ἀλλὰ οὐκ ἐθέλω διαιτητὴς γενέσθαι ὡς ἀγνοῶν ἅπαντα.
8. συγγνῶθί μοι πειρωμένῳ δεῖξαι ὡς πολλὴν οἶδά σοι χάριν ἀνθ' ὧν ἐχαρίζου τὸ πρίν.
9. διὰ τοῦτο δοκῶ μοι ἄπειρος εἶναι νόσων, ὅτι οὐδὲ τοῖς ἰατροῖς χρῶμαι ἀρχήν.
10. φρουδὰς οἴχεσθαι αἰσθόμενος ἁπάσας τὰς ἐλπίδας ἐς τὸν ἔσχατον φόβον κατέστη.
11. τὸν μὲν δόντα ἐπαινῶ ὡς εὔφρονα ὄντα, τῷ δὲ λαβόντι μέμφομαι ὅτι χάριν οὐκ οἶδεν.
12. εἴ τι ἐνδεές ἐστιν, ὑμεῖς μὲν ἀναπληροῖτ' ἂν τῇ γνώμῃ τοῦτο.
13. μείζω ἐπισκήπτουσί μοι ἢ ὥστε φέρειν.

## 67.

1. λόγῳ μὲν πρέσβυς ἥκει, ἔργῳ δὲ ἐμὲ ὀψόμενος.
2. ὀλίγοι μὲν δεινοὶ λέγειν, δοκοῦσι δὲ ἑαυτοῖς πολλοί.
3. αὐτίκα μὲν οὐκ αἰσθήσεται, ὕστερον δέ.
4. εἶπέ μοι τὸ πρᾶγμα καθ' ἕκαστα, μὴ τὰ μὲν τὰ δ' οὔ.

5. λέγεται μὲν πολλὰ ἐν τῇ ἐκκλησίᾳ, κυροῦται δὲ βραχέα.
6. ἐγὼ μὲν στρατιώτης δεξιός, σὺ δὲ ζῳγράφος.
7. νὺξ ἐν μέσῳ, καὶ ἅπαντες ἐς τὴν ἀγορὰν αὖθις παρεγένοντο.
8. πρόφασιν μὲν ἐπεσιτίζοντο, ἔργῳ δὲ ἦσαν κατασκόποι.
9. οἱ μὲν ἄλλοι λόγῳ καλοὶ κἀγαθοὶ, οὗτος δὲ μόνος ἔργῳ.
10. οἱ μὲν ἐλπίζοντες πολλοί, οἱ δὲ εὐτυχοῦντες ὀλίγοι.
11. ὠργίζετο μὲν πολύ, φανερὸς δ' οὐκ ἐγένετο.
12. ὀργιζόμενος μὲν κακῶς ποιεῖ τοὺς δούλους, ἄλλοτε δ' οὔ.
13. πολλὰ μὲν ἂν ἐγένετο κακά, ἐσώθησαν δ' ἀπὸ πάντων.
14. οὐ πᾶσαν τὴν εὐτυχίαν αὐτοῦ τοῦτο λέγεις, μέρος δέ τι μικρόν.
15. λοιδορεῖ μὲν ἐμὲ, αὐτὸς δὲ φανερὸς γίγνεται αἰσχρὸς ὤν.

## 68.

1. ἔγνωκεν ἤ τις ἢ οὐδεὶς τὸν ἄνδρα ὁποῖός ἐστιν.
2. ὅπῃ περὶ τούτων γιγνώσκει συνίημι ἐγὼ εἴ τις καὶ ἄλλος.
3. νοσήσας τελευτήσει ἄλλως τε καὶ κρέως οὔποτε γευόμενος.
4. ἤ τις ἢ οὐδεὶς μεταξὺ δειπνῶν καταδαρθάνει.
5. ἄξιος εἶ κολάζεσθαι ἄλλως τε καὶ ἑτέρων αἴτιος ὢν ἐγκλημάτων.

6. ἄλλοι τε ὑστέρουν καὶ οἱ ἀμφὶ τὸν Διογενῆ.
7. ποιοίην ἂν εἰ ἐν ἐμοὶ εἴη ἄλλως τε καὶ φίλος ὤν σοι.
8. ὅποι τελευτήσει ὁ πόλεμος οὐδεὶς ὡς εἰπεῖν οἶδεν.
9. κατάδηλος σὺ εἶ, εἴ τις καὶ ἄλλος, τοιοῦτος ὢν, οἷος νήφων ὀρχεῖσθαι.
10. φλυαρεῖ ἀνὴρ, εἴ τίς ποτε καὶ ἄλλος.
11. ἐπὶ ἀκρῷ τῷ λόφῳ ἤ τις ἢ οὐδεὶς παρῆν ἰδεῖν.
12. οὐκ ἔστιν ὅπως ἀδικήσει ἐμὲ ἄλλως τε καὶ ὁ πατὴρ ὤν.
13. οὗτος ἂν εἴ τις ἄλλος τὸν πόλεμον ἀμαχεὶ ἂν τελευτήσειεν.
14. ἅπαντα ἀκούσει ἄλλως τε καὶ φίλος ὢν αὐτοῦ.
15. ἄλλοι τε ἄπιστοι καὶ οἱ ἱερῆς.

## 69.

1. ἡ σὴ ἀμέλεια τούτου μέρος τι αἰτία.
2. αἱ σπονδαὶ ἡμῖν οὐ βουλομένοις ἦσαν.
3. πάρειμι πευσόμενος ὅπως εὐνοίας ἔχουσιν οἱ αὐτόθεν.
4. ἐξεκόπη λίθῳ τὸν ὀφθαλμόν.
5. τοῦ πλούτου μετέδωκα αὐτῷ καίπερ ἀχαρίστῳ ὄντι.
6. ἐς τοῦτό σοι τελευτᾷ ἡ σὴ μωρία.
7. οὐ παντός ἐστι τούτοις ἀποκρίνεσθαι.
8. ἤλγει ὁ Χαρμιδῆς τὴν κεφαλήν.
9. ἡ τοῦ Δημοσθένους στρατιὰ πολὺ προύλαβε τῆς ὁδοῦ.
10. ἐν τῷδε τῷ ἀγῶνι πολλά σου ἐλαττοῦμαι.
11. ὁ Βρασίδας τριακοσίοις ὁπλίταις ἐβοήθησεν.

12. οἱ Ἀθηναῖοι ἀτελεῖ τῇ νίκῃ ἀνεχώρησαν.
13. μακαρίζω σε τῆς εὐτυχίας.
14. ἰδοῦ μέγα χρῆμα ὑός· εἴθ' ὤφελεν ἐμὸν εἶναι.
15. αὐτὸ τοῦτο ἀφικόμην.

## 70.

1. λέγοιτε ἂν ὁπουδήποτε γῆς εἰμί.
2. ἐν δεξιᾷ κεῖται ἡ νῆσος Ἀθήναζε πλέοντι.
3. τρὶς τῆς ἡμέρας φωνεῖ ἡ σάλπιγξ.
4. τοῦτό σοι ἐὰν δοκῇ προῖκα δώσω.
5. οὐ δεῖ τῆς Μαραθῶνι (or ἐν Μ.) μάχης ἐπιλανθάνεσθαι.
6. τῇ νόσῳ ἐτελεύτησεν ἔτη πεντήκοντα γεγονώς.
7. ὧδε ἐγένετο ὁ τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων πόλεμος.
8. οὐ κρύπτειν τὰ ἀγγελθέντα τοὺς τοκέας δεῖ.
9. ῥᾷόν ἐστι νυκτὸς ἢ ἡμέρας καθεύδειν.
10. οἱ Ἀρκάδες μισθοῦ ἐστρατεύοντο.
11. Ἀθήναζε αὐτὸ τοῦτο ᾖα.
12. ἄμεινον ἦν μηδὲ ἀρχὴν ὡρμῆσθαι.
13. ἐκινήθη ἡ γῆ τῇ προτεραίᾳ τῆς μάχης.
14. εὐζώνῳ γε ἀνδρὶ τριῶν ἂν εἴη ἡμερῶν ὁδός.
15. ὅπως ποδῶν εἶχεν ἀπέδραμεν.

## 71.

1. σὲ μὲν περὶ πολλοῦ ποιοῦμαι, τὸν δὲ βασιλέα οὐδὲ γρῦ (or περὶ οὐδενός).
2. τί ἡμᾶς εἴργει μὴ οὐ φίλους γενέσθαι;

3. ὅσον οὐ τεθνηκὼς ἦν, ἔσωσεν δ' αὐτὸν ἀγροῖκός τις.
4. σὺ ἄρα ἀπολύσεις ἃ ὀφείλω· καὶ τίς ὤν;
5. τί δὲ σὺ ἐποίεις τούτων γιγνομένων;
6. Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.
7. θαυμάζω εἰ μὴ ἔξεστί μοι λέγειν.
8. τὸν μὲν πατέρα πλούσιον ἔφη εἶναι, αὐτὸς δ' οὔ.
9. ἡσσήθησαν διὰ τὸ μὴ ἀνδρεῖοι εἶναι.
10. φεῦ τοῦ θανάτου· εἰ γὰρ εἶδον αὐτὸν πρὶν ἀποθανεῖν.
11. ἀνέστησαν στήλην ἐφ' ἧς ἐγέγραπτο τὰ τῶν τεθνεώτων ὀνόματα.
12. οὐκ οἶσθ', ὦ δαιμόνιε, τί χρήσῃ σαυτῷ.
13. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας μισῶ.
14. ἐπριάμην ἵππον ἀργυρίου πάνυ πολλοῦ.
15. ἔσχον ἐς Μαραθῶνα τῆς Ἀττικῆς.

## 72.

1. ἓν ἀνθ' ἑνὸς δίδωμι.
2. ὢ τῆς τύχης· τὸ ἐλθεῖν γ' ἐμὲ ὕστερον.
3. ἐστεφάνωται Ὀλύμπια.
4. εὖ κεῖται ἡ νῆσος πλέοντι ἐς Ἰταλίαν.
5. οὗτος, τί ποιεῖς;
6. ἔκχει τοῦ Ἔρωτος.
7. κατήγγελται ἡμῖν ὡς ἑάλω ἡ Πύλος (or ἡ Πύλος ἁλοῦσα).
8. τοῦτ' ἐποίησα τοῦ μὴ ἰδεῖν σε.
9. οὔ σοι φθονῶ τοῦ πλούτου, πολλοῦ γε καὶ δεῖ.
10. ἄπαγε ἐκποδὼν, ὦ οὗτος.
11. πολὺ προὔλαβε τῆς ὁδοῦ.

12. πρῴ μὲν ἤλθομεν, ἑσπέρας δ' ἀπήλθομεν.
13. σῖτον εἶχον συχνοῦ χρόνου.
14. πολλῶν δὴ ἐτῶν οὐκ ἐπεδήμησεν ὁ Ἀγαθών.
15. δὶς τῆς νυκτὸς ἐξηγρόμην.
16. ὁμολογουμένως τῇ φύσει βιωτέον.

## 73.

1. ἐντεῦθεν ὁρμώμενοι ἐπολέμουν.
2. ἐς τὸ πεδίον ἀφικόμενος ἐξέτασιν ὅπλων ἐποιεῖτο.
3. ἐς τὴν Βοιωτίαν ἐσβαλόντες τὰς πόλεις ἐπολιόρκουν.
4. ἦλθεν Ἀρκάδων ἐπικούρους ἔχων καὶ ἐθελοντὰς οὐκ ὀλίγους.
5. οὐ διὰ πολλοῦ ἐς χεῖρας ᾖμεν τοῖς πολεμίοις.
6. προσεδεχόμεθα τὸ χωρίον ἀμαχεὶ (or αὐτοβοεὶ) λήψεσθαι.
7. ἐπιπεσόντων τῶν πολεμίων συνεστρεφόμεθα.
8. ἐν τῇ τοῦ χωρίου προσβολῇ πολλοὺς ἀπολέσαντες ἀπεκρούσθησαν.
9. ὡς ἐπὶ μάχην ἐτάχθησαν, οἱ μὲν Λακεδαιμόνιοι τὸ δέξιον κέρας ἔχοντες οἱ δὲ ἐπίκουροι τὸ εὐώνυμον.
10. οἱ πολέμιοι καταπλαγέντες ἐς φυγὴν ἐτράποντο.
11. οὕτως ἔγγυς ἐπολιορκούμεθα ὥστε μηδὲ ἐκ τῆς πόλεως ἐκδρομὴν τολμᾶν ποιεῖσθαι.
12. καλὰ ἔργα ἀποδειξαμένοις οὐ ὁμοίως προυχώρησεν αὐτοῖς.
13. τοῦ χωρίου χαλεποῦ ὄντος ἐπὶ κέρως ἐπορευόμεθα.

## 74.

1. οἱ Πελοποννήσιοι ἀεὶ καθ' ἕκαστον ἔτος ἐς τὴν Ἀττικὴν ἐσβαλόντες τὴν γῆν ἔτεμνον.
2. πολὺν ἀντείχομεν χρόνον, τέλος δὲ ἀπεκρούσθημεν.
3. τὰ τείχη περιελόντες τὴν πόλιν κατέσκαψαν (or ἐς τὸ ἔδαφος καθεῖλον).
4. τοὺς ἔνδον ἀόπλους καὶ τὴν πόλιν ἔρημον κατελάβομεν.
5. ὧδε ᾑρέθη τὸ ἄστυ.
6. πάντες οἱ ἐπίκουροι (or μισθοφόροι or μισθοῦ στρατευόμενοι) αὐτομολήσαντες πρὸς τῶν πολεμιῶν τὰ ὅπλα ἔθεντο.
7. ἐπιβοηθήσαντες ἐς αὐτὸ τὸ δέον παρῆμεν.
8. τοὺς φυγάδας ἐδίωκε καὶ πολλοὺς ἐζώγρησεν.
9. ἡ μάχη ὠμὴ καὶ κρατερὰ ἐγένετο.
